χαναῖς. ‖ 354. φρόνημα] conjeci φώνημα. ‖ 361. οὐκ ἐπάξεται] conjeci οὐκ ἐπάσεται, atque idem etiam Schneidewin suspicatus est. ‖ 382. ἀπάγουσι Boeckh, libri ἄγουσι. ‖ 387. ξύμμετρος προὔβην] conjeci ξύμμετρ' ἐξέβην. ‖ 384. ἥ'ξειργασμένη Brunck, libri ἐξειργασμένη. ‖ 404. ἰδὼν Brunck, libri ἴδον vel εἶδον. ‖ 420. ἐν δ'] fort. praestat ἔνθ'. ‖ 425. ὀρφανόν] conjeci ὀρφανή. ‖ 436. ἀλλ'] Dindorf conjecit ἅμ', ego suspicatus sum ἀλλ' ἡδέως ἔμ' ἔθιγε κἀλγεινῶς ἅμα. ‖ 442. καταρνῇ] vulgo καταρνεῖ. ‖ 452 mihi cum Dindorfio delendus videtur. ‖ 505. ἐγκλείσοι] fort. cum Erfurdtio ἐγκλείσαι. ‖ 510. ἐπαιδῇ] vulgo ἐπαιδεῖ. ‖ 513. καὶ ταὐτοῦ] fort. κἀκ τ. ‖ 519. ἴσους schol., τούτους codd. ‖ 520. ἴσος] malim ἴσον vel ἴσα. ‖ 521. κάτωθεν schol., κάτω 'στιν codd. ‖ 527. δάκρυ scripsi, libri δάκρυα. Corrigunt minus recte δάκρυ' εἰβομένη. Ceterum etiam ea quae sequuntur non satis integra videntur. ‖ 535. ἤ 'ξομῇ] vulgo ἤ 'ξομεῖ. ‖ 560. conjeci ὥστε τοῖς θανοῦσί σ' ὠφελεῖν, similiter Wieseler. ‖ 563. βλάστῃ Schaefer, libri βλαστῇ. ‖ 567. μέντοι Brunck, libri μέν σοι vel μέν τοι σοί. ‖ 572 Antigonae tribuit Aldus, libri Ismenae. ‖ 574 et 76 choro tribuit Boeckh, libri Ismenae. ‖ 579. τάσδε a grammatico aliquo profectum videtur, Sophocles scripserit: ἐκ δὲ τοῦδε χρὴ | γυναῖκας εἶναι μηδ' ἐᾶν ἀνειμένας. ‖ 587. ὅμοιον cancellis sepsi. ‖ 589. ὕφαλον] conjeci ἔφαλον. ‖ 591. θῖνα, καὶ δυσάνεμον | στόνῳ βρέμουσιν ἀντιπλῆγες ἀκταί Ellendt, libri θῖνα καὶ δυσάνεμον, στόνῳ βρέμουσι δ' ἀντιπλῆγες ἀκταί. Ego conjeci θῖνα, καὶ δυσάνεμοι στόνῳ βρέμουσιν ἀμφιπλῆγες ἀκταί. ‖ 595. πήματ' ἰφθίμων scripsi, libri πήματα φθιμένων. ‖ 600. ὃ adjecit Hermann, deest in libris. ‖ 601. κατ' Triclinius, libri κἀτ'. ‖ 602. ἀμᾷ κόνις] conjeci ἀρὰ κλονεῖ. ‖ 606. παντ-αγήρως (nisi malit aliquis πάντ' ἀγήρως) Par. A, reliqui libri παντογήρως. ‖ 608. ἀγήρῳ δὲ χρόνῳ δυνάστας] fort. leg. ἀγήρω δὲ χρόνον δυνάστας, quod confirmat schol. ‖ 614. πάμπολις] Sophocles haud dubie scripserat παμπαδίς, quae est varia forma pro παμπηδίς, quemadmodum πάμπαδον et παμπήδην dicuntur. ‖ 622. ποτ'] conjeci τότ'. ‖ 623. ἔμμεν Brunck, libri ἔμμεν'. ‖ 625. ὀλιγοστὸν] malim ὀλίγιστον. ‖ 638. μείζων] conjicio μεῖζον. ‖ 645. φιτύσει Brunck, libri φυτεύσει. ‖ 648. πρὸς scripsi, libri ὑφ'. ‖ 659. τάγ' Erfurdt, libri τά τ'. ‖ 673. πόλεις cod. Dresd. a, ceteri πόλεις τ'. ‖ 674. ἥδε σὺν μάχῃ δορὸς τροπὰς καταρρήγνυσι] scribendum puto σὺν τροπῇ δορὸς μάχας (vel στρατόν). ‖ 680 fort. delendus. ‖ 691. τέρψῃ] legebatur τέρψει. ‖ 695. αὐτῆς] fort. praestat αὑτῆς. ‖ 714. αὔτως Ellendt, vulgo αὕτως. ‖ 716. ὑπείκει] Sophocles videtur ὑπείκῃ scripsisse, quod etiam schol. firmat, et fortasse similiter v. 713. ‖ 719. παντεπιστήμης scripsi, legebatur πάντ' ἐπιστήμης. ‖ 747. οὐκ ἂν] videtur scribendum οὐ δᾶν id est οὐ δὴ ἄν. ‖ 752. ἐπεξέρχῃ] legebatur ἐπεξέρχει. ‖ 772. βουλεύῃ] legebatur βουλεύει. ‖ 814. ἐπινυμφίδιος] scribendum videtur ἐπὶ νυμφείοις, et scholiasta haud dubie legit ἐπὶ νυμφείαις, quorsum spectat glossa: λείπει θύραις ἢ κοίταις, quam male referunt ad Ἀχέροντι. ‖ 817. ἀπέρχῃ et 822 καταβήσῃ] legebatur ἀπέρχει et καταβήσει. ‖ 828. ὄμβροι Musgrave, libri ὄμβρῳ. ‖ 833. θεογεννής] fort. διογενής. ‖ 836. τοῖς ἰσοθέοις ἔγκληρα λαχεῖν μέγ' ἀκοῦσαι G. Hermann, libri μέγ' ἀκοῦσαι τοῖς ἰσοθέοις ἔγκληρα λαχεῖν. ‖ 838 aperte subditicium omisit Aldus. ‖ 846. ἐπιβῶμαι scripsi, varia lectio in La ἐπιβοῶμαι, vulgo ἐπικτῶμαι. ‖ 847. οἵοις Turnebus, vulgo οἵοισιν. ‖ 851 manifesto subditicium cancellis sepsi. ‖ 855. πολύ] conjeci ποδοῖν, idque ipsum scripsit Schneidewin. ‖ 858. τριπόλιστον] Hermann conjecit τριπλοιστόν, ego τρίπαλτον. ‖ οἶτον, quod Brunck conjecit, Lb correctus, reliqui libri οἶκτον. ‖ 864. αὐτογεννῆ scripsi, libri αὐτογέννητ'. ‖ 865. δύσμορα scripsi, libri δυσμόρου vel δυσμόρῳ. ‖ 884. χρείη Dawes, libri χρεῖ' ᾖ. ‖ 887. χρῇ Dindorf, libri

χρῇ. ‖ 912. βλάστοι Schaefer, βλαστοῖ vulgo. ‖ 935 et 36 schol. choro tribuit, in libris Creontis sunt. ‖ 941. τὴν βασιλίδα] videtur scribendum τὴν Λαβδακιδᾶν, nam τὴν βασιλειδᾶν ab usu abhorret. ‖ 943. εὐσεβίαν Turnebus, εὐσέβειαν libri. ‖ 949. καί τοι καὶ Hermann, libri καί τοι. ‖ 952. ὄλβος Erfurdt, ὄμβρος libri. ‖ 955. ὀξύχολος Scaliger et Brunck, libri ὀξυχόλως. ‖ 960. ἀνθηρόν] conjicio ἀτηρόν. ‖ 965. ἠρέθιζε] scribendum videtur ἠθέριζε, quod jam Musgrave conjecit. ‖ 966. πελαγέων aperte vitiosum ortum videtur ex glossa adscripta πλαγκτῶν. Sophocles scripserit: παρὰ δὲ Κυανεᾶν σπιλάδας διδύμας ἁλός. ‖ 967. ἄξενος adjecit Boeckh, libri om. ‖ 994. τήνδε ναυκληρεῖς πόλιν] fort. τήνδ' ἐναυκλήρεις πόλιν. ‖ 998. γνώσῃ] vulgo γνώσει. ‖ 1013. ἀσήμων] fort. ἀσήμως. ‖ 1027. ἀκῆται scripsi, itaque etiam Dindorf edidit, vulgo ἀκεῖται. ‖ 1040. θέλουσ'] conjeci θέλωσ'. ‖ 1058. τὸ δ' ἐκ τυράννων] malim τὸ δ' αὖ τυράννων. ‖ 1067. ἔσῃ] vulgo ἔσει. ‖ 1068. κάτω, ψυχήν τ' ἀτίμως] fort. κάτω ψυχήν, ἀτίμως τ'. ‖ 1080. συνταράσσονται] haud dubie συνταράξονται scribendum. ‖ 1086. ὑπεκδραμῇ] vulgo ὑπεκδραμεῖ. ‖ 1107. νυν] libri νῦν. ‖ 1110. Post hunc versum plura haud dubie desunt, nec videntur versus 1111—14 a Sophocle profecti. ‖ 1115. Καδμείας, fort. Καδμίδος scribendum. ‖ 1119. Ἰταλίαν] conjeci Κιδαλίαν, i. e. Ἀκιδαλίαν. ‖ 1120. παγκοίνοις Ἐλευσινίας Δηοῦς] conjeci παγκοίνοισι Ῥαριάδος Δηοῦς coll. Herodiano π. μον. λέξ. 35. ‖ 1122. ματρόπολιν Dindorf, libri μητρόπολιν. ‖ 1124. ῥείθρων Hermann, libri ῥεέθρων (ῥέεθρον). ‖ 1130. στίχουσι Dindorf, libri στείχουσι. ‖ 1134. ἀβρότων Turnebus, libri ἀμβρότων. ‖ 1147. νυχίων Brunck, libri καὶ νυχίων. ‖ 1149. Ζηνός Bothe, libri Διός. ‖ 1150. προφάνηθι Ναξίαις] conjeci προφάνηθ' ὦναξ. ‖ 1151. Θυίαισιν Boeckh, libri θυιάσιν. ‖ 1175 et 76 conjeci remotis interpolationibus scribendum esse: ΑΓ. Αἵμων ὄλωλεν— ΧΟ. Ἡ πρὸς οἰκείας χερός; quamquam in hac fabula sola nullum aliud extat exemplum versus inter duas personas divisi. ‖ 1195. ἀλῆθει'] libri ἡ ἀλήθει'. ‖ 1200. καταοχεθεῖν Elmslei, κατασχέθειν libri. ‖ 1225. λέχος] conjeci λάχος. ‖ 1254. κρυφῇ] vulgo κρυφῆ. ‖ 1256. καὶ τῆς ἄγαν γάρ ἐστί που σιγῆς βάρος] conjicio καὶ τῆς ἄγαν γὰρ ἔσθ' ὅπου σιγῆς βάρος. ‖ 1265. ὤμοι Turnebus, ἰώ μοι codd. ut videtur. ‖ 1267. αἰαῖ αἰαῖ Dindorf, vulgo αἶ αἶ αἶ αἶ. ‖ 1281. τί δ' ἔστιν; ἢ κάκιον αὖ κακῶν ἔτι Pflugk, libri τί δ' ἔστιν αὖ κάκιον ἢ (ἢ) κακῶν ἔτι; ‖ 1282. παμμήτωρ graviter corruptum. ‖ 1289. τί φῄς, ὦ παῖ; τίνα λέγεις μοι νέον λόγον] scribendum puto: τί φῄς; ὦ τίν' αὖ λέγεις μοι νέον | αἰαῖ αἰαῖ | σφάγιον etc. ‖ 1290 et 1306. αἰαῖ αἰαῖ Dindorf, vulgo αἶ αἶ αἶ αἶ. ‖ 1293 choro tribuit Erfurdt, nuntio libri. ‖ 1301. ἡ δ' ὀξύθηκτος ἥδε βωμία πέριξ λύει κελαινὰ βλέφαρα] conjeci ἡ δ' ὀξυθήκτῳ φοινία περὶ ξίφει λύει κελαινὰ βλέφαρα. ‖ 1303 versus unus excidit. ‖ 1310. αἰαῖ Erfurdt, libri φεῦ φεῦ. ‖ 1319. ἐγώ σ' ἔκανον Hermann, libri ἐγὼ ἔκανον. ‖ 1321. τάχος] fort. τάχιστ' cum Erfurdtio scribendum. ‖ 1337. μή νυν Dindorf, vulgo μὴ νῦν. ‖ 1340. κατέκανον Dindorf, libri κατέκτανον. ‖ 1341. σέ Hermann, libri ὅς σέ. ‖ αὖ τάνδ' Seidler, libri αὐτάν. ‖ 1342. ὅπᾳ πρὸς πότερον ἴδω· πᾶ καὶ θῶ] videtur scribendum: ὅπᾳ πρότερ' ἴδω καὶ θῶ. πάντα γὰρ etc. ‖ 1345. τάν Brunck, libri τά δ' ἐν (τά τ' ἐν).

TRACHINIAE.

7. ἔτ' ἐν Erfurdt, libri ἐν. ‖ 17 cancellis ut subditicium sepsi. ‖ 46—48 suspecti sunt. ‖ 57. δοκεῖν haud dubie corruptum. ‖ 58. δόμους] conjicio δόμων. ‖ 59. εἴ τί σοι Hermann, vulgo εἴ τι σοί. ‖ 66. φέρειν Valckenaer, libri φέρει. ‖ 68. ἱδρῦσθαι Dindorf, libri ἱδρύσθαι. ‖ 77. ὥρας Dronke correxit, libri χώρας. ‖ 80. ὡς τὸν ὕστατον scripsi, itaque Koechly conjecit, libri εἰς τὸν ὕστερον, nisi praestat εἰς τόγ' ὕστερον ἄλυπον ἤδη βίοτον εὐαίων' ἔχειν. ‖ 84 delendum vidit Bentlei. ‖ 88 et

89 cancellis sepsit Hermann: sed pro ἐᾷ, quod libri exhibent, εἴα scripsi. ‖ 90. μὴ οὐ Brunck, libri μή. ‖ 97. καρῦξαι Hermann, libri καρύξαι. ‖ 107. ἀλλὰ scripsi, vulgo ἀλλ'. ‖ 114. κύματ' ἐν … ἴδῃ Erfurdt, libri κύματ' … ἴδοι. ‖ 120. ἀναμπλάκητος Camerarius, libri ἀμπλάκητον. ‖ 129. χαρά] fort. praestat χαραί. ‖ 141. ὡς σάφ' εἰκάσαι Wunder, libri ὡς ἀπεικάσαι. ‖ 145. χώροισιν] conjeci δώροισιν vel χαραῖσιν. ‖ 161. ὅ τι Musgrave, vulgo ὅτι. ‖ 162. χρείη Brunck, libri χρεῖ' ᾖ. ‖ 164. τρίμηνον] fort. cum Wakefieldio τρίμηνος. ‖ 169 et 70 cancellis sepsi. ‖ 172. δισσῶν] conjeci τρισσῶν. ‖ 188. πρὸς πολλοὺς Hermann, libri πρόσπολος. ‖ 189. τοῦ δ' Hermann, vulgo τοῦδ'. ‖ 205. ἀνολολυξάτω Dindorf, libri ἀνολύξετε (ἀνολολύξατε). ‖ δόμος Elmslei, libri δόμοις. Olim conjeci servata librorum scriptura ἁ μελλόνυμφος. ‖ 210. παιᾶν' Brunck, παιᾶνα vulgo. ‖ 218. ἰδού μ' ἀναταράσσει εὐοῖ μ'] fortasse scribendum εὐοῖ μ' ἀναθράσσει ὁ κισσὸς etc. ‖ βακχίαν Brunck, vulgo βακχείαν. ‖ 222. ἴδ', ἴδ' Brunck, vulgo ἴδε, ἴδ'. ‖ 223. ἀντίπρῳρα Dindorf, vulgo ἀντίπρωρα. ‖ 226. φρουρὰν Musgrave, libri φρουρᾷ. ‖ 252 et 53 olim mihi suspecti videbantur. ‖ 264 et 67. lacunas indicavi. ‖ 281. ante h. v. nonnulla excidisse videntur. ‖ 292. τὰ Scaliger, libri τῶν. ‖ 295 valde suspectus est. ‖ 308. τεκνοῦσα ex Aldina revocavi, neque τεκνοῦσσα neque τεκοῦσα probandum. ‖ 313. οἶδεν] scribendum videtur εἶκεν, nisi malis οἶκεν, id quod Schneidewinus quoque conjecit. Aliquando conjeci μέλλει, vid. schol. Platon. Rep. VIII, 566 D. ‖ 316. post τυράννων interrogandi signum posuit Schaefer, post ἦν plene distinxi, vulgo erat hic quoque interrogandi signum additum. ‖ 320. ἧμιν] vulgo ἡμῖν. ‖ 323. οὐδαμὰ Hermann, vulgo οὐδαμᾶ vel οὐδαμᾷ. ‖ 329. ᾖδ' Dindorf, vulgo ἥδ'. ‖ 330. τοῖς οὖσι λύπην] conjeci τοῖς νῦν παροῦσι. ‖ 336. τ' Erfurdt, libri γ' vel omittunt. ‖ 343. ἢ 'μοὶ Groddeck, vulgo ἤ μοι. ‖ 350. ἀγνοίᾳ Hermann, libri ἄγνοια. ‖ 356 et 57 suspecti sunt. ‖ 363. manifesta hic interpolationis vestigia deprehenduntur. ‖ 379. κάρτα Canter, libri καὶ τά. ‖ 381. 'καλεῖτο Brunck, vulgo καλεῖτο. ‖ οὐδαμὰ Hermann, libri οὐδαμᾶ (οὐδαμᾷ). ‖ 388. νιν Brunck, libri μιν. ‖ 390 nuntio tribuit Hermann, in libris Deianirae est. ‖ 391. ἀνὴρ] vulgo ἀνήρ. ‖ 396. κἀννεώσασθαι Hermann, vulgo καὶ νεώσασθαι, sed ἀνανεώσασθαι schol. et Eustath. 811, 20 legunt. ‖ 402. nuntio hunc versum pariterque proximos usque ad v. 432 tribuit Tyrwhitt, cum in libris Deianirae sint, idemque v. 403 ἐρωτήσας scripsit pro ἐρωτήσασ'. ‖ 412. ποικίλας Tyrwhitt, libri ποικίλασ'. ‖ 422. παρῶν] malim πάρα. ‖ 436. πρός σε Hermann, libri πρὸς σέ (σύ). ‖ 441. μέν νυν Eustath. 792, 19, libri μὲν νῦν vel μὲν γοῦν. ‖ 445. τ' ἀνδρὶ Seidler, libri τἀνδρί. ‖ 450. ψεύδῃ et 452. ὀφθήσῃ scripsi, legebatur ψεύδει et ὀφθήσει. ‖ 451. αὐτόν] legebatur αὐτόν. ‖ 460. ἀνὴρ εἷς indignum Sophocle, scripserat ἀνήρεις itaque hic olim lectum esse significat etiam scholiasta, qui dicit: τινὲς ἀνάνδρους παρθένους. cf. Etymol. M. 108, 5 ἀνήρεις, ἀνάνδρους, ἢ χήρας ἢ παρθένους, ὡς ξιφήρεις. (Gaisfordi editione uti non licet.) ‖ 470. μέμψῃ, et 471. κτήσῃ] legebatur μέμψει et κτήσει. ‖ 488 et 89 aptius post v. 478 locum obtinerent: fortasse olim non in omnibus codicibus legebantur. ‖ 504. τίνες ἀμφίγυοι κατέβαν πρὸ γάμων, τίνες δὲ scripsi, libri ἀμφίγυοι κατέβαν πρὸ γάμων τινὲς (sed schol. τίνες), unde Hermann τίνες ἀμφίγυοι κατέβαν πρὸ γάμων, τίνες. ‖ 509. Βακχίας Brunck, vulgo Βακχείας. ‖ 514. μόνα δὲ scripsi, vulgo μόνα δ'. ‖ 526. post hunc versum indicavi lacunam. Scholiasta locum hunc integrum usurpavit: ἐγώ, φησίν, ἐνδιαθέτως ὡσεὶ μήτηρ λέγω· ἐγὼ παρεῖσα τὰ πολλὰ τὰ τέλη λέγω τῶν πραγμάτων. Et quamvis videri possit verba παρεῖσα τὰ πολλὰ de suo addidisse, tamen simile quid etiam poeta scripserit, fortasse παρεῖσα πόλλ' ἐρ-

γων κεφάλαια σὺν εὐμενεῖ φρενί vel τὰ πολλὰ παρεὶς κορυφὰς σὺν εὐμενείᾳ. Hesychius ἐνδιαθέτως interpretatur ὁλοψύχως, et quod Soph. dixit in Oedip. Col. 486 ἐξ εὐμενῶν στέρνων scholiasta explicat ἐνδιαθέτως. ‖ 527—30 cancellis sepsi, sunt enim haec ex altera recensione servata loco versuum 523—26. Verba corrupta ἐλεεινὸν ἀμμένει scholiasta jam ita reperit, poeta videtur scripsisse: κλεινὸν ἀμμένει πόσιν. ‖ 533. λάθρᾳ] vulgo λάθρα. ‖ 539. ὑπὸ Brunck, legebatur ὕπο. ‖ 554. λυτήριον λύπημα, τῆδ'] fort. λυτήριον λυπημάτων. ‖ 556. χαλκέῳ] schol. χαλκίῳ legit. ‖ 557. παρὰ Brunck, libri πάρα. ‖ 558. ἐκ φόνων] fort. praestat ἐκ φονῶν. ‖ 570. ὀνήσῃ lemma scholii, legebatur ὀνήσει. ‖ 585 cancellis sepsi. ‖ 597. πεσῇ] legebatur πεσεῖ. ‖ 602. τόνδε ταναϋφῆ πέπλον Wunder, legebatur τόνδε γ' εὐϋφῆ πέπλον. ‖ 608. φανερὸν ἐμφανὴς T, ceteri φανερὸς ἐμφανῶς. ‖ 623. ὧν ἔχεις] scribendum videtur ὧν θέλεις, quod etiam Schneidewin suspicatus est. ‖ 628. αὐτὴν] fort. αὐτὸς. ‖ 632. κἀκεῖθεν Schneidewin duce scholiasta, libri τἀκεῖθεν. ‖ 636. παρ (πὰρ) T, reliqui libri παρὰ. ‖ 639. καλεῦνται Hermann, libri καλέονται. ‖ 644. Ἀλκμήνας T, reliqui libri Ἀλκμήνας τε. ‖ 648. παντᾶ Bothe, libri πάντα. ‖ 671. φοβῇ lemma scholii, vulgo φοβεῖ. ‖ 672. ἦν Erfurdt, legebatur ἂν. ‖ 675. ἀργῆτ'] fort. ἀργῆς. ‖ 684 cancellis sepsit Wunder. ‖ 693. φάτιν, schol. φάσιν legit. ‖ 696. ἐς μέσην φλόγα] conjeci ἐς μέσην χθόνα. ‖ 698. χθονί] conjeci φλογί. ‖ 715. χὤνπερ Hermann, libri χὤσπερ. ‖ 730. οἴκοι Wakefield, libri οἴκοις. ‖ 731. λόγον schol., χρόνον libri. ‖ 748. ἐμπελάζῃ scripsi, La ἐμπελάζῃς, vulgo ἐμπελάζεις. ‖ 751. εἰ χρὴ μαθεῖν σε] conjeci εἰ χρῇς μαθεῖν σύ. ‖ 767. προσπτύσσεται Musgrave, libri προσπτύσσετο. ‖ 768. etiam hic versus excidisse videtur, fortasse Sophocles scripserat ὥστε τέκτονος ξύλῳ νεαρῆς κόλλα προσχρισθεῖσ' ὕπο. Ac legit tale quid paraphrastes: τὸ δὲ ἑξῆς· καὶ προσκολλητὸς ὁ χιτὼν κατὰ πᾶν μέρος, ὡς ἂν ξύλῳ νεαρὰ κόλλη ὑπὸ τέκτονος προσσείη χρισθεῖσα. ‖ 771. ἰὸς ὣς ἐδαίνυτο Wakefield, qui plene interpunxit, vulgo ἰὸς ὡς ἐδαίνυτο, ἐνταῦθα etc. ‖ 772. 'βόησε Brunck, legebatur βόησε. ‖ 781. κόμης] Sophoclem κόρσης scripsisse puto. ‖ 782. etiam post hunc versum alius excidisse videtur. ‖ 783. ἀνευφήμησεν Brunck (libri ἀνευφώνησεν) duce Hesychio: ἀνευφημήσει· ἀνοιμώξει. κατὰ ἀντίφρασιν. Σοφοκλῆς Τραχινίαις. et plane sic affert hunc versum schol. Eurip. Troad. ‖ 796. καλεῖ Stephanus, κάλει libri. ‖ 799. με θὲς Wakefield, libri μέθες. ‖ 801 et 2 alterius videntur esse recensionis, et pro μηδ' αὐτοῦ θάνω malim μὴ δαὐτοῦ θάνω i. e. μὴ δὴ. ‖ 809. εἰ θέμις δ', ἐπεύχομαι] conjeci εἰ θέμις δῆστ', εὔχομαι. ‖ 810. ἐπεί τοι scripsi, legebatur ἐπεί μοι. ‖ 816. καλὸς schol., legebatur καλῶς. ‖ 824. ὁπότε τελεόμηνος ἐκφέροι δωδέκατος ἄροτος, ἀναδοχὰν τελεῖν πόνων] Sophocles haud dubie scripserat: ὁπότε τελεόμηνον ἐκφέροι δωδέκατον ἄροτον, τότ' ἀνοχὰν τελεῖν πόνων, ut τελεόμηνον substantivi loco dictum *plenilunium* significet. ‖ 829. πῶς γὰρ ἂν ὁ μὴ λεύσσων ἔτι ποτ' ἔτ' ἐπίπονον ἔχοι θανὼν λατρείαν] scribendum puto: πῶς γὰρ ἂν ὁ μὴ λεύσσων | φῶς ἔτι ποτ' ἔτι πόνων ἔχοι λατρείαν; ut θανὼν apertum glossema ejiciatur. ‖ 831. φονίᾳ] codd. ut videtur omnes φοινίᾳ vel φοινία. ‖ 832. πλευρὰ Erfurdt, libri πλευρᾷ. ‖ 834. ἔτρεφε Lobeck, libri ἔτεκε. ‖ 835. πῶς ὅδ' ἂν ἅλιον ἕτερον ἢ τανῦν ἴδοι] conjicio: ἅλιον ὅδ' ἂν πῶς ἕτερον ἢ τὰ νῦν ἴδοι. ‖ 840. Νέσσου θ' ὕπο φοίνια δολόμυθα κέντρ' ἐπιζέσαντα] videtur ejectis interpolationibus scribendum: ὑποδολόμυθα κέντρ' ἐπιζέσαντα. ‖ 846 et 47. ἦ που Brunck bis, legebatur ἤ που. ‖ 871. ἧμιν] legebatur ἡμίν. ‖ 875 sqq. aperte duplicis recensionis reliquiae temere confusae sunt in nostris libris. ‖ 887. σιδάρου Erfurdt, libri σιδήρου. ‖ 891. αὐτῆς] legebatur αὑτῆς. ‖ 894. ἁ νέορτος Juntina, ἀνέορτος libri. ‖ 899. πεύσῃ] legebatur πεύσει. ‖ 900. γὰρ ἦλθε

Schaefer, libri παρῆλθε. ‖ 902. ἀντῴη Turnebus, legebatur ἀντοίη (ἀντοίῃ). ‖ 910. αὐτῆς] legebatur αὐτῆς. ‖ 924. ᾗ Wakefield, libri ᾧ. ‖ 928. τῆς τεχνωμένης] conjeci μηχανωμένης. ‖ 942. βίος Wakefield, libri βίου. ‖ 944. πλέους A a m. pr., ceteri ut videtur omnes πλείους. ‖ 947. πότερα πρότερ' scripsi et sic Hermann, libri πότερ' ἂν πρότερα (πότερα). ‖ τέλεα corruptum, fort. νηλέα scribendum, ut dochmiacus numerus restituatur. ‖ 950. τὰ μὲν et τὰ δὲ Hermann, libri τάδε μὲν et τάδε δὲ. ‖ δόμοισι scripsi, libri δόμοις. ‖ 961. πρὸ δόμων] scribendum videtur προδόμῳ, cf. Hesych. προδόμῳ, προστάδι, προστώῳ. ‖ 963. ξένοι delevit Turnebus. ‖ 968. αἰαῖ ὅδ' ἄναυδος Erfurdt, libri αἶ αἶ αἶ αἶ ὅδ' ἄναυδος, sed correctio incerta. ‖ 971 et 72. σοῦ Brunck, vulgo σου. ‖ ὦ πάτερ scripsi hiatu admisso, vulgo πάτερ. ‖ 974. Σίγα geminavi cum Hermanno, in libris semel legitur. ‖ 978. 'ξεγερεῖς Dawes, libri 'ξεγείρῃς. ‖ 986. ὧδ' adjeci, om. libri. ‖ 994. ἀνθ' et θυμάτων Hermann et Martin deleverunt, nisi forte Sophocles scripsit θυέων οἵαν ἀνθ' οἵων. Praeterea suspecta est repetitio verborum ἐπί μοι μελέῳ. ‖ 996. ἤνυσας Brunck, libri ἠνύσω. ‖ 1000. καταδερχθῆναι] fort. καταδερχθῆν, quod Dindorfius quoque conjecit. ‖ 1005. εὐνᾶσθαι bis Ellendt, libri εὐνάσαι (εὐνᾶσαι). ‖ 1014. ἐπιτρέψει V, ut Brunck conjecit, vulgo ἀποτρέψει. ‖ 1021. ὀδυνᾶν Musgrave ex scholiasta restituit, vulgo ὀδύναν. ‖ 1022. βίοτον Musgrave, vulgo βιότου. ‖ 1023. ὦ παῖ Seidler, vulgo ὦ παῖ παῖ. ‖ 1031. ἰὼ ἰὼ Παλλὰς scripsi, vulgo ἰὼ Παλλάς. ‖ 1032. οἴκτειρ' scripsi, libri οἰκτείρας. ‖ 1036. τὰν Erfurdt, libri ἄν. ‖ 1040. ὦ γλυκὺς Ἅιδας, ὦ Διὸς αὐθαίμων Seidler, libri ὦ Διὸς αὐθαίμων, ὦ γλυκὺς Ἅιδας. ‖ 1041. εὔνασον εὔνασόν μ' scripsi, libri εὔνασόν μ' εὔνασον. ‖ 1051. Ἐρινύων] vulgo ἐριννύων. ‖ 1081. αἰαῖ Dindorf, vulgo αἶ αἶ. ‖ 1082. ἀρτίως ὅδ' αὖ, διῇξε Hermann, vulgo ἀρτίως· ὅδ' αὖ διῇξε. ‖ 1084. διαβόρος Dindorf, vulgo διάβορος. ‖ 1096. θηρῶν, ὑβριστὴν] malim θηρῶν ὑβριστῶν. ‖ ὑπέροχον Bentlei, vulgo ὑπείροχον. ‖ 1097. τόν θ' V, quod H. Stephanus jam correxit, ceteri libri τόνδ' (τὸν δ'). ‖ 1103. κατερρακωμένος] conjeci κατηνθρακωμένος, sed malim κατερρικνωμένος. ‖ 1111. κακούς γε] fort. κακοῦργα, Cobet κακούργους. ‖ 1114 et 15. hic quoque duplicis recensionis vestigia deprehenduntur. ‖ 1117. δάκνῃ, 1119. προθυμῇ] vulgo δάκνει et προθυμεῖ. ‖ 1132. αὐτῆς scripsi, vulgo αὑτῆς. ‖ 1134. σοῦ Schaefer, vulgo σου. ‖ 1136. post χρῆμα distinxit Erfurdt. ‖ μωμένη Heath, vulgo μνωμένη. ‖ 1144 et 45 videntur ex altera recensione relicti. ‖ ἔστι μοι et v. 1146 ἔστι σοι Hermann, vulgo ἐστί μοι et ἐστί σοι. ‖ 1156. πράσσειν Brunck, libri πράττειν. ‖ 1158. καλῇ] libri καλεῖ. ‖ 1160. πρὸς τῶν πνεόντων] conjeci τῶν ἐμπνεόντων. ‖ 1165 aperte subditicium cancellis circumscripsi. ‖ 1172. τὸ δ' Wyttenbach, vulgo τόδ'. ‖ 1173. προσγίγνεται Brunck, vulgo προσγίνεται. ‖ 1180. interrogandi signum post ἐξειρήσεται posuit Hermann. ‖ 1193. νυν Brunck, vulgo νῦν. ‖ 1206. ἐκκαλῇ] vulgo ἐκκαλεῖ. ‖ 1211. φοβῇ] vulgo φοβεῖ. ‖ 1220. ὥς γ' Schaefer, libri ὥστ'. ‖ 1256. αὕτη, τελευτή] conjeci αὕτη κέλευθος. ‖ 1263. τελέουσ' Hermann et Billerbeck, libri τελέως. ‖ 1264. Hylli nomen addidit Turnebus, in libris om. Ceterum, quamquam extrema pars fabulae non ab ipsius Sophoclis manu profecta, neque ad artis consummatae leges revocanda est, tamen hic locus aperta interpolationis prae se fert vestigia. Conjicio: αἴρετ', ὀπαδοί, μεγάλην μὲν ἐμοὶ | τούτων θέμενοι συγγνωμοσύνην, | μεγάλην δὲ θεοῖς, οἳ φύσαντες | καὶ κληζόμενοι | πατέρες τοιαῦτ' ἐφορῶσιν ut non solum verba ἀγνωμοσύνην εἰδότες ἔργων τῶν πρασσομένων ejiciantur, sed etiam πάθη versu extremo. Jam quae sequuntur τὰ μὲν οὖν μέλλοντ' etc. choro continuanda sunt. ‖ 1266. θεοῖς V et Turnebus, reliqui libri θεῶν. ‖ 1277. καὶ Bentlei adjecit, libri om.

PHILOCTETA.

Argum. I. καὶ παρ' Εὐριπίδῃ adjeci. || 8. ἧμιν] vulgo ἡμίν. || 22. corruptela subest: conjeci εἴτ' ἔχει χῶρον προσαυρῶν τόνδε γ' vel potius χῶρον πάραυλον τόνδε γ'. || 25. ἴῃ Camerarius, libri εἴη. || 29. καὶ στίβου στ' οὐδεὶ τύπος scripsi, libri καὶ στίβου τ' (γ') οὐδεὶς τύπος (κτύπος). || 32. οὐδ' ἔνδον οἰκοποιὸς ἐστί τις τροφή;] conjeci ἐστ' ἐπιστροφή quod recepit Dindorf, antea tentaveram ὁ δ' ἔνδον οἶκος ποῖός ἐστ' ἐπιστροφήν; || 47. ἕλοιτ' ἔμ' scripsi, vulgo ἕλοιτό μ'. || 55. λόγοισι] scribendum videtur δόλοισι. || 69. σοὶ] vulgo σοι. || 79. παῖ Erfurdt, libri καί. || 81. λαβεῖν] fort. λαχεῖν. || 90. ἑτοῖμος Ellendt, ἕτοιμος vulgo. || 106. γ' οὐδὲ haud dubie corruptum est, exspectaveram οὐκ ἄρ' ἐκείνῳ καὶ τὸ προσμῖξαι θρασύ. || 107. οὐ μὴν δόλῳ λαβόντα γ' scripsi, legebatur οὔ, μὴ δόλῳ λαβόντα γ'. || 108. τὸ ψευδῆ λέγειν Vauvillers, libri τὰ ψευδῆ λέγειν. || 116. θηρατέ' ἂν Hermann, libri θηρατέα, θηρατέ' οὖν (γοῦν). || 119. αὐτὸς Vauvillers, vulgo αὐτός. || 134. Ἀθάνα Eustathius, libri Ἀθηνᾶ. || 135. δέσποτ' scripsi, libri δέσποτά μ'. || 147. ὁδίτης] conjicio ὁπλίτης. || τῶνδ' ἐκ μελάθρων cum sequentibus junxi. || 150. μέλημα cancellis sepsi. || 156. μὴ προσπεσών με λάθῃ Hermann, libri μή με λάθῃ προσπεσών. || 166. σμυγερὸν σμυγερῶς Brunck, libri στυγερὸν στυγερῶς. || 167. αὐτῷ Turnebus, libri αὐτῷ. || 174. παντὶ τῷ Aristid. T. I, 59, vulgo παντί τῳ. || 186. ἔχων βαρεῖ· ἁ δ' Boeckh, libri ἔχων, βαρεῖα δ'. || 193. παθήματα κεῖνα Brunck, παθήματ' ἐκεῖνα vulgo. || 196. οὐκ ἔστιν ὅπως οὐ θεῶν scripsi, et τοῦ cancellis sepsi, libri veteres οὐκ ἔσθ' ὅπως οὐ θεῶν του. || 202. τειρομένοιο scripsi, libri τειρομένου. || 204. ἤ που Hermann, idemque omnia choro tribuit, vulgo ΝΕΟΠ. ἤπου ... τόπων; || 207. λάθει Turnebus, libri λάθῃ vel λήθει. || 209. θροεῖ] conjicio θρεῖ, cf. Hesych. θρέειν· θροεῖν. || 212. ἀνήρ] vulgo ἀνήρ. || 217. ὅρμον αὐγάζων Hermann, libri αὐγάζων ὅρμον. || 218. προβοᾷ γάρ τι δεινόν] fort. προβοᾷ γὰρ αἰνόν, nisi malis ἢ ναὸς ἄξενον ὅρμων αὐγάζων προβοᾷ τι δεινόν. || 222. ποίας πάτρας ἂν ὑμᾶς ἢ γένους ποτὲ scripsi, et secutus est Schneidewin, vulgo π. π. ὑμᾶς ἂν ἢ γένους ποτὲ, sed libri veteres ἂν ὑμᾶς. || 228. καλούμενον] conjicio κώλούμενον. || 236. τίς σ'] malim τί σ'. || 245. δὴ ταννῦνγε Buttmann, vulgo δῆτα νῦνγε. || 251. οὐδ' ὄνομ' ἄρ' Erfurdt, libri οὐδ' ὄνομ'. || 268. τῆς Auratus, libri τῆσδ'. || 267. φοινίῳ Schneidewin ex Eustath. Opusc. 324, libri ἀγρίῳ. || 281. νόσον Aldus, libri νόσον vel νόσῳ. || 286. βαιῇ] corrigunt βαιᾷ, ego conjeci μ' αἰεί. || 291. δύστηνος Canter, δύστηνον libri. || 292. εἴ τ'] fort. εἶτ'. || 304 suspectus mihi videtur. || 319. ἐν λόγοις] fort. ὧν λόγοις. || 324. θυμὸν γένοιτο χειρὶ Brunck, θυμῷ γένοιτο χεῖρα libri. || 334. θεοῦ δ' ὕπο τοξευτὸς conjunxi, vulgo distinguebatur post ὕπο. || 343. ποικιλοστόλῳ] conjicio ποικιλοστόμῳ. || 347. ἢ 'μ' Erfurdt, vulgo ἢ μ'. || 360. ἐπεὶ δάκρυσα κεῖνον, οὐ μακρῷ χρόνῳ ἐλθὼν] vulgo interpungitur ἐπεὶ δάκρυσα κεῖνον οὐ μακρῷ χρόνῳ, ἐλθὼν etc. || 371. ἣν κυρῶν Brunck, libri ὧν κυρεῖ. || 388. τρόποισι Nicol. Progymn. in Walzii Rhett. Gr. I, 294, libri λόγοισι. || 401. τῷ Λαρτίου vel τῷ Λαερτίου manifesto depravatum, conjicio λεόντων ἔφεδρ', ἰὼ τἄργ' ἰδοῦ, σέβας ὑπέρτατον. || 421. ὁ παλαιός] conjeci τί δ' ὅ τε παλαιὸς vel τί δ' ὁ παλαιός τε. || 426. αὔτως Ellendt, vulgo αὕτως. || 434. σοῦ Hemsterhuis, σοι libri. || 435. σ' ἐν Erfurdt, libri σε. || 456. δ' scripsi, libri θ' vel γ'. || 457. δειλὸς Brunck, libri δεινός. || 465. ἧμιν] vulgo ἡμίν. || 481. ὅπῃ] fort. hic ὅποι et infra ὅπῃ scribendum. || 482. πρύμνην Elmslei, libri πρύμναν, sed fort. praestat πρύμναν μ'. || 488. τὸν σὸν] fort. cum Hermanno τὸν ἐμόν. || 493. παλαιὸν Triclinius, vulgo παλαί' ἄν. || 502. πάντα δεινά] conjicio πάντ' ἄδηλα. || 510. ἔχθεις Ἀτρείδας] malim Ἀτρείδας ἔχθεις. || 515. μετατιθέμενος schol., μέγα τιθέμενος libri. || ἐπιμένονεν

Turnebus, libri ἐπεὶ μέμονεν. ‖ 517. θεῶν Dindorf, libri ἐκ θεῶν. ‖ 519. παρῆς] conjicio ἀρῇ. ‖ 524. γ᾽ ἔμ᾽] vulgo γέ μ᾽. ‖ 528. ἔκ τε Gernhard, libri ἔκ γε (δὲ). ‖ 531. ὕμιν] vulgo ὑμῖν. ‖ 533. ἴωμεν ὦ παῖ προσκύσαντες τὴν ἔσω ἄοικον εἰσοίκησιν] scribendum: ἴωμεν, ὦ παῖ, προσκύσαντες Ἑστίαν ἄοικον εἰς οἴκησιν. antea minus recte προσκύσοντες ἑστίαν ... εἰς οἴκησιν conjeci. ‖ 538. κακά varia lect. in La, vulgo τάδε. ‖ 554. ἀμφὶ σοῦ νέα Auratus, libri ἀμφὶ σοῦ ῞νεκα. ‖ 569. ἑτοῖμος Ellendt, vulgo ἕτοιμος. ‖ 574. ἂν Brunck, legebatur ἄν. ‖ 576. μή νυν Brunck, vulgo μὴ νῦν. ‖ 584. χρηστά θ᾽ Dobree, libri χρηστά γ᾽. ‖ 600. ὅν γ᾽ Erfurdt, libri ὅν τ᾽. ‖ 636. ὁρίζῃ Brunck, libri ὁρίζει. ‖ 637 et 38 Hermann choro tribuit, mihi plane obelo configendi videntur. ‖ 639. ἀνῇ Pierson, libri ἄῃ. ‖ 642. ante hunc versum nonnulla excidisse arbitror. ‖ 644. τε] malim τι. ‖ 648. ἔνι] malim ἔπι. ‖ 671—73 Neoptolemo tribui, vulgo Philoctetae sunt; item in proximis verba χωροῖς ἂν εἴσω Philoctetae dedi, quae erant Neoptolemi, ut jam Neoptolemus dicat: καί σέ γ᾽ εἰσάξω etc., quae hucusque plane praepostere Philoctetae tribuuntur. ‖ 677. τῶν addidit Porson, deest in libris. ‖ 678. Ἰξίονα cancellis sepsi. ‖ 679. ἔβαλεν scripsi (Wakefield ἔβαλ᾽), libri ἔλαβ᾽. ‖ 682. ἐσιδὼν Wakefield, libri ἐσίδον (ἐσεῖδον, ἐσίδων). ‖ 684. ὃς οὔτ᾽ ἔρξας τιν᾽ οὔτε νοσφίσας] scribendum videtur ὃς οὔ τι ῥέξας οὔτιν᾽ οὔτε νοσφίσας vel ὃς οὔ τι ῥέξας οὔτε νοσφίσας ἄπο. ‖ 686. ὤλλυθ᾽ ὧδ᾽ ἀναξίως] conjicio ὤλλυτ᾽ ἀνάξι᾽ ὧδε. ‖ 687. τόδε θαῦμ᾽ ἔχει με] conjicio τόδε δ᾽ αὖ (vel τοι) θαῦμά μ᾽ ἔχει. ‖ 693. τὸν βαρυβρῶτα πόδα κλαύσειεν scripsi, libri βαρυβρῶτ᾽ ἀποκλαύσειεν. ‖ 699. κατευνάσειεν, εἴ τις ἐμπέσοι, φορβάδος ἔκ τε γᾶς ἑλεῖν] scribendum puto κατευνάσειεν, ἢ εἴ τις ὄρνις ἐμπέσοι, | φορβάδος ἐκ γᾶς ἕλοι. ‖ 701. εἷρπε Bothe, libri ἕρπει. ‖ 704. πόρου Wakefield, legebatur πόρων (πόρον). ‖ 705. ἐξανείῃ Hermann, vulgo ἐξανίησι. ‖ 711. πτανοῖς cancellis sepsi. ‖ 716. γνοίῃ cancellis sepsi. ‖ 717. αἰεί Turnebus, codd. ut videtur ἀεί. ‖ 724. πολλῶν cancellis circumscripsi. ‖ 727. πλάθῃ scripsi, libri πλάθει. ‖ πᾶσιν cancellis circumscripsi. ‖ 746. ἀπαππαπαῖ Brunck, ἀπαπαπᾶ Ald., ego malim ἆ ἆ παπαῖ. Deinde quater παπαῖ scripsi, Ald. παπᾶ· πάπα· πάπα· παπαῖ. ‖ 754. οὐκ οἶδα. ΦΙ. πῶς οὐκ οἶσθα, παῖ; παπαῖ, παπαῖ scripsi, legebatur ΦΙ. οὐκ οἶδα. ΝΕ. πῶς οὐκ οἶσθα; ΦΙ. παππαπαππαπαῖ. ‖ 755. τοὐπίσαγμα] conjeci τοὐπίσιγμα. ‖ 777. μὴ σοὶ] legebatur μή σοι. ‖ 788. οἴμοι μοι] malim οἴμ᾽ οἴμοι. ‖ 798. δύνᾳ Porson, libri δύνῃ. ‖ 812. ἐμοῦστι Hermann, vulgo ἐμοἴστι. ‖ 818. μεθίημ᾽, εἴ τι Hermann, libri veteres μεθίημι· τί. ‖ 828. Ὕπν᾽ ὀδύνας ἀδαής, Ὕπνε δ᾽ ἀλγέων, εὐαὴς ἡμῖν ἔλθοις εὐαίων ὦναξ] videtur scribendum: Ὕπν᾽ ὀδύνας ἀδαής, Ὕπνε δ᾽ ἄλγεος, εὐαὲς ἧμιν | ἔλθοις, εὐαίων ὦναξ. ut εὐαὲς penultima correpta dictum sit. ‖ 830. ἀντέχοις τάνδ᾽ αἰγλάν] videtur ἀντίσχοις τάνδ᾽ ἀχλύν verum esse. ‖ 831. τὰ cancellis sepsi. ‖ 832. ἴθ᾽ ἴθι scripsi, libri ἴθι, ἴθι. ‖ 834. ποῖ δὲ βάσῃ φροντίδος μοι. τἀντεῦθεν ὁρᾷς ἤδη. scripsi, sed malim τἀνθένδ᾽, legebatur ποῖ δὲ βάσῃ, πῶς δέ μοι τἀντεῦθεν φροντίδος· ὁρᾷς ἤδη. quae frustra interpretes explicare conantur, quemadmodum jam veteres grammatici depravatum hunc locum expedire non potuerunt. In archetypo codice fuit scriptum:

ὦ τέκνον ὅρα ποῦ στάσῃ   τῆς γνώμης
ποῖ δὲ βάσῃ μοι τἀντεῦ-   πῶς δὲ
θεν ὅρας ἤδη.   φροντίδος

Vocabulum enim φροντίδος prius omissum in margine adjectum fuit et deinde una cum glossis et variis lectionibus temere conglutinatum in ordinem receptum est. ‖ 836. μένομεν Erfurdt, μενοῦμεν libri. ‖ 837. γνῶμ᾽ scripsi, libri γνώμαν. ‖ 843. ejectis glossematis scribendum videtur: ἀλλὰ τέκνον τάδε μὲν θεὸς ὄψεται, ὧν δ᾽ ἂν ἀμείβῃ [μ᾽ αὖ-

θις], | βαιάν μοι βαιὰν [ὦ] τέκνον. ‖ 846. φάμαν Turnebus, φήμαν libri. ‖ 847. εὐδρακὴς cancellis sepsi. ‖ 849. δύνᾳ Elmslei, vulgo δύναιο. ‖ 850. δὴ addidit Hermann, libri omittunt. ‖ λάθρᾳ] vulgo λάθρα. ‖ 853. εἰ ταὐτὸν τούτῳ γνῶμ' ἴσχεις correxi, libri εἰ ταὐτὰν (ταύταν) τούτῳ γνώμαν ἴσχεις. ‖ 854. πυκινοῖς Turnebus, libri πυκινοῖσιν. Post hunc versum lacunam indicavi, nam desiderantur quatuor versus hexametri, qui Neoptolemi erant. ‖ 859. ἐκτέταται (νύχιος δ' ἐλέησ' ὕπνος ἐσθλός) scripsi, libri ἐκτέταται νύχιος, ἀλεὴς ὕπνος ἐσθλός. ‖ 861. ἀλλά τις ὡς Wunder, libri ἀλλ' ὥς τις. ‖ 866. ἀνὴρ] libri ἀνὴρ, sicut 873 ἀγαθοί (vett. edd. οἱ 'γαθοί). ‖ 872. εὐφόρως Brunck, libri εὐπόρως. ‖ 895. δῆτ' ἂν Schaefer, libri δῆτα. ‖ 927. δεῖμα] conjeci λῆμα. ‖ 933. με μἀφέλῃς Dindorf, vulgo μή μου 'φέλῃς. ‖ 944. post hunc versum plene distinguebatur. ‖ 954. αὐανοῦμαι schol., αὖ θανοῦμαι libri. ‖ 957. ὑφ' ὧν] conjeci ἀφ' ὧν, quod etiam Schneidewin suspicatus est. ‖ 958 mihi suspectus videtur. ‖ 972. ἥκειν] conjeci ἀσκεῖν. ‖ ἄλλοισι δοὺς ambiguum, fort. scribendum ἄλλοις σε δούς. ‖ 976. ἀνήρ] libri ἀνήρ. ‖ 992. τίθῃς Porson, vulgo τιθείς. ‖ 999. χρῇ Brunck, libri χρή. ‖ 1003. ξυλλάβετον Bernhardy, libri ξυλλάβετέ γ', nisi malis ξύλλαβε τίς. ‖ 1007. οἷ' αὖ Hermann, libri οἷα. ‖ 1032. ἔξεστ' Pierson, vulgo εὔξεσθ'. ‖ 1035. ὀλεῖσθε δ' Brunck, libri ὄλοισθε δ'. ‖ 1051. λάβοι τις scripsi, La λάβοις, vulgo λάβοις μου. ‖ 1053. νῦν δὲ σοί γ'] malim σοὶ δὲ νῦν γ'. ‖ 1055. οὐδὲ σοῦ Dindorf, vulgo οὐδέ σου. ‖ 1062. ἣν σὲ χρῆν Ellendt, vulgo ἥν σ' ἐχρῆν. ‖ 1071. λειφθήσομαι δὴ Erfurdt, vulgo λειφθήσομ' ἤδη. ‖ 1086. οἴμοι μοί μοι] fort. οἴμοι οἴμοι vel οἴμ' οἴμ' οἴμοι. ‖ 1092. αἴθ' αἰθέρος ἄνω πτωκάδες ὀξυτόνου διὰ πνεύματος ἕλωσί μ'· οὐ γάρ ἔτ' ἰσχύω] Sophocle mihi haec digna videntur: αἰθυῖαι δ' ἄνω | πτωκάδες ὀξυτόνου διὰ πνεύματος | γελῶσί μ'· οὐκέτ' ἀρκῶ vel οὐ γὰρ ἀρκῶ. ‖ 1107. αἰαῖ αἰαῖ Dindorf, vulgo αἶ αἶ αἶ αἶ. ‖ 1110. οὐ πτανῶν] conjeci εὐπτάνων. ‖ 1116. lacunam indicavi. ‖ 1118. ἀμᾶς scripsi, libri ἐμᾶς. ‖ 1123. οἴμοι μοι] malim οἴμ' οἴμοι. ‖ 1125. χερὶ Turnebus, libri χειρί. ‖ 1130. ἐλεινὸν Brunck, libri ἐλεεινόν. ‖ 1134. ἀλλ' ἐν μεταλλαγᾷ] possis hunc versum antistrophico adaequare, si ἀλλ' αἰὲν μεταλλαγᾷ scripseris, sed incerta omnia. ‖ 1135. ἐρέσσῃ] conjeci ἐρύσσῃ. ‖ 1139. οὐδεὶς scripsi, itaque etiam Arndt conjecit, libri 'Οδυσσεύς. ‖ 1144. τῶνδ' Thudichum, libri τοῦδ'. ‖ 1165. σὸν Dindorf, vulgo σοί. ‖ 1168. ᾧ ξυνοικεῖ] fort. ὃς ξυνοικεῖ. ‖ 1196. ὥς σε κελεύομεν] fort. ὥς σ' ἐκελεύομεν. ‖ 1199. βροντᾶς αὐγαῖς schol., qui quidem etiam βροντὰς αὐγαῖς (cf. de participio βροντάς a verbo βρόντημι Corinnae Fr. 34 ap. schol. Il. P. 197.) legi posse censet, libri βρονταῖς αὐταῖς: sed fortasse aliud latet. Conjeci βροντᾶς αὐσαῖς, cf. Hesych. αὐσαῖς· πνοαῖς, κραυγαῖς. ‖ 1206. δὴ adjecit Hermann, libri omittunt. ‖ 1207. κρᾶτα καὶ ἄρθρ' ἀπὸ πάντα scripsi, libri κρᾶτα ἀπὸ πάντα καὶ ἄρθρα. ‖ 1214. πῶς ἂν εἰσίδοιμ' ἄθλιός σ' ἀνήρ Dindorf, libri πῶς ἂν εἰσίδοιμί σ' ἄθλιός γ' ἀνήρ. ‖ 1216. ἐχθροῖς] fort. ἐχθροῖσιν. ‖ 1229. βουλεύῃ] vulgo βουλεύει. ‖ 1238. ταὐτὰ Brunck, vulgo ταῦτα. ‖ 1245. σοφά Brunck, libri σοφόν. ‖ 1252 sqq. locus nondum sanatus. ‖ 1253. σοὶ Dindorf, libri σοι. ‖ 1265. μῶν τί μοι μέγα πάρεστε πρὸς κακοῖσι πέμποντες κακόν] fort. μῶν τί μοι νέα ... κακά; ‖ 1272. λάθρᾳ] vulgo λάθρα. ‖ 1275. παῦε Turnebus, libri παῦσαι. ‖ 1284. αἴσχιστος Pierson, libri ἔχθιστος. ‖ 1288. ἆρα Porson, libri οὐκ ἆρα vel οὐκ ἄρα. ‖ 1300. ἆ Turnebus, libri ἆ ἆ. ‖ 1306. τοῦτ' ἐστὶν οὔτε σοὶ καλὸν Wakefield, libri καλὸν τοῦτ' ἔστιν οὔτε σοί. ‖ 1308. ὅτου Turnebus, libri ὅπου. ‖ 1314. τε vulgo additum, om. libri. ‖ 1329. ἂν τυχεῖν Porsou, ἐντυχεῖν libri. ‖ 1330. ἕως] legebatur ὡς. ‖ οὗτος Brunck, libri αὐτός. ‖ 1337. ἡμῖν] conjeci ἦ μήν. ‖ 1361. κακοὺς Doederlein, libri κακά. ‖

1364. *οἵ γε* Brunck, libri *οἵτε.* ‖ 1365—67 recte Brunck subditicia esse vidit. ‖ 1367. *κἄμ'* Brunck, libri *καί μ'.* ‖ 1372. *ὁμοῖος* Ellendt, libri *ὅμοιος.* ‖ 1381. *λῷσθ'* Dindorf, libri *καλῶς* vel *κάλ'*, nisi praestat *ἅ σοί θ' ὁρῶ κἀμοὶ καλῶς τελούμενα.* ‖ 1386. *ἐχθροῖσί μ'* Brunck, libri *ἐχθροῖσιν.* ‖ 1387. *τάν*] vulgo *τἂν.* ‖ 1390. *ἐγὼ οὐκ* Dindorf, vulgo *ἔγωγ'*, sed La *ἔγωγ' οὐκ*, Γ *ἐγώ γ' οὐκ.* ‖ 1395. *ὡς ῥᾷστ'*] fort. *ἄριστ'.* Conjeci etiam: *τί δῆτ' ἂν ἡμεῖς δρῶμεν; εἰ σέ γ' ἐν λόγοις πείσειν δυνησόμεσθα μηδὲν ὧν λέγω, ὥρα 'στ' ἐμοὶ μὲν* etc. ‖ 1406. *Ἡρακλέους* Brunck, libri *Ἡρακλείοις*, ego conjeci *βέλεσιν Ἡρακλῄοις.* ‖ 1407. quae cancellis sepsi, subditicia esse vidit Dindorf. ‖ 1418. *δείξω* scripsi, libri *λέξω.* ‖ 1429. *ἐκλαβὼν* Turnebus, libri *ἐκβαλών.* ‖ 1431. *ἃ δ' ἂν λάβῃς σὺ σκῦλα τοῦδε τοῦ στρατοῦ*] conjicio *ἀλλ' ἃν λάβῃς σὺ σκῦλα τοῦδε τοῦ στόλου* (hoc etiam Hermann). ‖ 1443. *οὐ γὰρ* Dawes, libri *ἡ γάρ.* ‖ 1444 cancellis sepsi. ‖ 1448. *γνώμην* scripsi, libri *γνώμῃ.* cf. Theognis 717 et Aristoph. Eccles. 658. ‖ 1449. *μή νυν* Brunck, libri *μὴ νῦν.* ‖ 1452. *χώραν*] conjeci *χαίρειν.* ‖ 1459. *Ἑρμαῖον* Brunck, vulgo *Ἕρμαιον.* ‖ 1461. *Λύκιον* schol., *γλύκιον* libri. ‖ 1469. *δὴ* Hermann, libri *ἤδη* (*νυν*).

ΣΟΦΟΚΛΕΟΥΣ ΑΙΑΣ.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΑΘΗΝΑ.
ΟΔΥΣΣΕΥΣ.
ΑΙΑΣ.
ΧΟΡΟΣ ΣΑΛΑΜΙΝΙΩΝ ΝΑΥΤΩΝ.
ΤΕΚΜΗΣΣΑ.
ΑΓΓΕΛΟΣ.
ΤΕΥΚΡΟΣ.
ΜΕΝΕΛΑΟΣ.
ΑΓΑΜΕΜΝΩΝ.

ΚΩΦΑ ΠΡΟΣΩΠΑ

ΕΥΡΥΣΑΚΗΣ. ΠΑΙΔΑΓΩΓΟΣ. ΣΤΡΑΤΟΚΗΡΥΞ.

ΥΠΟΘΕΣΙΣ.

Τὸ δρᾶμα τῆς Τρωϊκῆς ἐστι πραγματείας, ὥσπερ οἱ ΑΝΤΗΝΟΡΙΔΑΙ καὶ ΑΙΧΜΑΛΩΤΙΔΕΣ καὶ ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ καὶ ΜΕΜΝΩΝ. πεπτωκότος γὰρ ἐν τῇ μάχῃ τοῦ Ἀχιλλέως ἐδόκουν Αἴας τε καὶ Ὀδυσσεὺς ἐπ' αὐτῷ πλέον τι ἀριστεύειν περὶ τὴν τοῦ σώματος κομιδήν· καὶ κρινομένων περὶ τῶν ὅπλων κρατεῖ Ὀδυσσεύς. ὅθεν καὶ ὁ Αἴας, τῆς κρίσεως μὴ τυχών, παρακεκίνηται καὶ διέφθαρται τὴν γνώμην, ὥστε ἐφαπτόμενος τῶν ποιμνίων δοκεῖν τοὺς Ἕλληνας διαχειρίσασθαι. καὶ τὰ μὲν ἀνεῖλε τῶν τετραπόδων, τὰ δὲ δήσας ἀπάγει ἐπὶ τὴν σκηνήν· ἐν οἷς ἐστί τις καὶ κριὸς ἔξοχος, ὃν ᾤετο εἶναι Ὀδυσσέα, ὃν δήσας ἐμαστίγωσεν, ὅθεν καὶ τῇ ἐπιγραφῇ πρόσκειται ΜΑΣΤΙΓΟΦΟΡΟΣ, ἢ πρὸς ἀντιδιαστολὴν τοῦ ΛΟΚΡΟΥ. Δικαίαρχος δὲ ΑΙΑΝΤΟΣ ΘΑΝΑΤΟΝ ἐπιγράφει. ἐν δὲ ταῖς διδασκαλίαις ψιλῶς ΑΙΑΣ ἀναγέγραπται.

Ταῦτα μὲν οὖν πράττει ὁ Αἴας· καταλαμβάνει δὲ Ἀθηνᾶ Ὀδυσσέα ἐπὶ τῆς σκηνῆς διοπτεύοντα τί ποτε ἄρα πράττει ὁ Αἴας, καὶ δηλοῖ αὐτῷ τὰ πραχθέντα, καὶ προκαλεῖται εἰς τὸ ἐμφανὲς τὸν Αἴαντα ἔτι ἐμμανῆ ὄντα καὶ ἐπικομπάζοντα ὡς τῶν ἐχθρῶν ἀνῃρημένων. καὶ ὁ μὲν εἰσέρχεται ὡς ἐπὶ τῷ μαστιγοῦν τὸν Ὀδυσσέα· παραγίνεται δὲ χορὸς Σαλαμινίων ναυτῶν, εἰδὼς μὲν τὸ γεγονός, ὅτι ποίμνια ἐσφάγησαν Ἑλληνικά, ἀγνοῶν δὲ τὸν δράσαντα. ἔξεισι δὲ καὶ Τέκμησσα, τοῦ Αἴαντος αἰχμάλωτος παλλακίς, εἰδυῖα μὲν τὸν σφαγέα τῶν ποιμνίων ὅτι Αἴας ἐστίν, ἀγνοοῦσα δὲ τίνος εἶεν τὰ ποίμνια. ἑκάτερος οὖν παρ' ἑκατέρου μαθόντες τὸ ἀγνοούμενον, ὁ χορὸς μὲν παρὰ

Τεκμήσσης, ὅτι ὁ Αἴας ταῦτα ἔδρασε, Τέκμησσα δὲ παρὰ τοῦ χοροῦ, ὅτι Ἑλληνικὰ τὰ σφαγέντα ποίμνια, ἀπολοφύρονται· καὶ μάλιστα ὁ χορός. ὅθεν δὴ ὁ Αἴας προελθὼν ἔμφρων γενόμενος ἑαυτὸν ἀπολοφύρεται. καὶ τούτου ἡ Τέκμησσα δεῖται παύσασθαι τῆς ὀργῆς· ὁ δὲ ὑποκρινόμενος πεπαῦσθαι ἔξεισι καθαρσίων ἕνεκα καὶ ἑαυτὸν διαχρῆται. εἰσὶ δὲ καὶ ἐπὶ τῷ τέλει τοῦ δράματος λόγοι τινὲς Τεύκρου πρὸς Μενέλαον, οὐκ ἐῶντα θάπτειν τὸ σῶμα. τὸ δὲ πέρας, θάψας αὐτὸν Τεῦκρος ἀπολοφύρεται. παρίστησι δὲ ὁ λόγος τῆς τραγῳδίας ὅτι ἐξ ὀργῆς καὶ φιλονεικίας οἱ ἄνθρωποι ἥκοιεν ἐπὶ τὰ τοιαῦτα νοσήματα, ὥσπερ ὁ Αἴας προσδοκήσας ἐγκρατὴς εἶναι τῶν ὅπλων, καὶ ἀποτυχὼν ἔγνω ἑαυτὸν ἀνελεῖν. αἱ δὲ τοιαῦται φιλονεικίαι οὐκ εἰσὶν ἐπωφελεῖς οὐδὲ τοῖς δοκοῦσι νενικηκέναι. ὅρα γὰρ καὶ παρ' Ὁμήρῳ τὰ περὶ τῆς ἥττης τοῦ Αἴαντος πάνυ διὰ βραχέων καὶ περιπαθῶς· (Ὀδ. λ, 542)

οἴη δ' Αἴαντος ψυχὴ Τελαμωνιάδαο
νόσφιν ἀφειστήκει κεχολωμένη εἵνεκα τευχέων.

εἶτα αὐτοῦ ἄκουε τοῦ κεκρατηκότος· (547)

ὡς δὴ μὴ ὄφελον νικᾶν τοιῷδ' ἐπ' ἀέθλῳ.

οὐκ ἐλυσιτέλησεν ἄρα αὐτῷ ἡ νίκη, τοιούτου ἀνδρὸς διὰ τὴν ἧτταν ἀποθανόντος.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῷ ναυστάθμῳ πρὸς τῇ σκηνῇ τοῦ Αἴαντος. δαιμονίως δὲ εἰσφέρει προλογίζουσαν τὴν Ἀθηνᾶν. ἀπίθανον γὰρ τὸν Αἴαντα προϊόντα εἰπεῖν περὶ τῶν αὐτῷ πεπραγμένων, ὥσπερ ἐξελέγχοντα ἑαυτόν· οὐδὲ μὴν ἕτερός τις ἠπίστατο τὰ τοιαῦτα, ἐν ἀπορρήτῳ καὶ νυκτὸς τοῦ Αἴαντος δράσαντος. θεοῦ οὖν ἦν τὸ τοιοῦτον διασαφῆσαι, καὶ Ἀθηνᾶς προκηδομένης τοῦ Ὀδυσσέως, διό φησι·

καὶ πάλαι φύλαξ ἔβην
τῇ σῇ προθύμως εἰς ὁδὸν κυνηγίᾳ.

Περὶ δὲ τοῦ θανάτου τοῦ Αἴαντος διαφόρως ἱστορήκασιν. οἱ μὲν γάρ φασιν ὅτι ὑπὸ Πάριδος τρωθεὶς ἦλθεν εἰς τὰς ναῦς αἱμορροῶν, οἱ δὲ ὅτι χρησμὸς ἐδόθη Τρωσὶ πηλὸν κατ' αὐτοῦ βαλεῖν· σιδήρῳ γὰρ οὐκ ἦν τρωτός· καὶ οὕτω τελευτᾷ. οἱ δὲ ὅτι αὐτόχειρ αὐτοῦ γέγονεν, ὧν ἐστι καὶ Σοφοκλῆς. περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν, ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυψεν ἡ λεοντῆ, ἄτρωτον ἦν, τὸ δὲ μὴ καλυφθὲν τρωτὸν ἔμεινε.

ΑΘΗΝΑ.

Ἀεὶ μέν, ὦ παῖ Λαρτίου, δέδορκά σε
πεῖράν τιν᾽ ἐχθρῶν ἁρπάσαι θηρώμενον·
καὶ νῦν ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ
Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει,
πάλαι κυνηγετοῦντα καὶ μετρούμενον
ἴχνη τὰ κείνου νεοχάραχθ᾽, ὅπως ἴδῃς
εἴτ᾽ ἔνδον εἴτ᾽ οὐκ ἔνδον. εὖ δέ σ᾽ ἐκφέρει
κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις.
ἔνδον γὰρ ἁνὴρ ἄρτι τυγχάνει, κάρα
στάζων ἱδρῶτι καὶ χέρας ξιφοκτόνους.
καί σ᾽ οὐδὲν εἴσω τῆσδε παπταίνειν πύλης
ἔτ᾽ ἔργον ἐστίν, ἐννέπειν δ᾽ ὅτου χάριν
σπουδὴν ἔθου τήνδ᾽, ὡς παρ᾽ εἰδυίας μάθῃς.

ΟΔΥΣΣΕΥΣ.

ὦ φθέγμ᾽ Ἀθάνας φιλτάτης ἐμοὶ θεῶν,
ὡς εὐμαθές σου, κἂν ἄποπτος ᾖς ὅμως,
φώνημ᾽ ἀκούω καὶ ξυναρπάζω φρενὶ
χαλκοστόμου κώδωνος ὡς Τυρσηνικῆς.
καὶ νῦν ἐπέγνως εὖ μ᾽ ἐπ᾽ ἀνδρὶ δυσμενεῖ
βάσιν κυκλοῦντ᾽, Αἴαντι τῷ σακεσφόρῳ.
κεῖνον γάρ, οὐδέν᾽ ἄλλον, ἰχνεύω πάλαι.
νυκτὸς γὰρ ἡμᾶς τῆσδε πρᾶγος ἄσκοπον
ἔχει περάνας, εἴπερ εἴργασται τάδε·
ἴσμεν γὰρ οὐδὲν τρανές, ἀλλ᾽ ἀλώμεθα·
κἀγὼ ᾽θελοντὴς τῷδ᾽ ὑπεζύγην πόνῳ.
ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
λείας ἁπάσας καὶ κατηναρισμένας
ἐκ χειρὸς αὐτοῖς ποιμνίων ἐπιστάταις.
τήνδ᾽ οὖν ἐκείνῳ πᾶς τις αἰτίαν νέμει.
καί μοί τις ὀπτὴρ αὐτὸν εἰσιδὼν μόνον
πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει
φράζει τε κἀδήλωσεν· εὐθέως δ᾽ ἐγὼ
κατ᾽ ἴχνος ᾄσσω, καὶ τὰ μὲν σημαίνομαι,

τὰ δ' ἐκπέπληγμαι, κοὐκ ἔχω μαθεῖν ὅτου.
καιρὸν δ' ἐφήκεις· πάντα γὰρ τά τ' οὖν πάρος
τά τ' εἰσέπειτα σῇ κυβερνῶμαι χερί.

ΑΘΗΝΑ.

ἔγνων, Ὀδυσσεῦ, καὶ πάλαι φύλαξ ἔβην
τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυναγίᾳ.

ΟΔΥΣΣΕΥΣ.

ἦ καί, φίλη δέσποινα, πρὸς καιρὸν πονῶ;

ΑΘΗΝΑ.

ὡς ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι.

ΟΔΥΣΣΕΥΣ.

καὶ πρὸς τί δυσλόγιστον ὧδ' ᾖξεν χέρα;

ΑΘΗΝΑ.

χόλῳ βαρυνθεὶς τῶν Ἀχιλλείων ὅπλων.

ΟΔΥΣΣΕΥΣ.

τί δῆτα ποίμναις τήνδ' ἐπεμπίπτει βάσιν;

ΑΘΗΝΑ.

δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ.

ΟΔΥΣΣΕΥΣ.

ἦ καὶ τὸ βούλευμ' ὡς ἐπ' Ἀργείοις τόδ' ἦν;

ΑΘΗΝΑ.

κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ.

ΟΔΥΣΣΕΥΣ.

ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει;

ΑΘΗΝΑ.

νύκτωρ ἐφ' ὑμᾶς δόλιος ὁρμᾶται μόνος.

ΟΔΥΣΣΕΥΣ.

ἦ καὶ παρέστη κἀπὶ τέρμ' ἀφίκετο;

ΑΘΗΝΑ.

καὶ δὴ 'πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις.

ΟΔΥΣΣΕΥΣ.

καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;

ΑΘΗΝΑ.

ἐγώ σφ' ἀπείργω, δυσφόρους ἐπ' ὄμμασι
γνώμας βαλοῦσα, τῆς ἀνηκέστου χαρᾶς,
καὶ πρός τε ποίμνας ἐκτρέπω σύμμικτά τε
λείας ἄδαστα βουκόλων φρουρήματα·
ἔνθ' εἰσπεσὼν ἔκειρε πολύκερων φόνον
κύκλῳ ῥαχίζων· κἀδόκει μὲν ἔσθ' ὅτε
δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων,

ὅτ' ἄλλοτ' ἄλλον ἐμπίτνων στρατηλατῶν.
ἐγὼ δὲ φοιτῶντ' ἄνδρα μανιάσιν νόσοις
ὤτρυνον, εἰσέβαλλον εἰς ἕρκη κακά.
κἄπειτ' ἐπειδὴ τοῦδ' ἐλώφησεν φόνου,
τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν
ποίμνας τε πάσας εἰς δόμους κομίζεται,
ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν ἔχων,
καὶ νῦν κατ' οἴκους συνδέτους αἰκίζεται.
δείξω δὲ καὶ σοὶ τήνδε περιφανῆ νόσον,
ὡς πᾶσιν Ἀργείοισιν εἰσιδὼν θροῇς.
θαρσῶν δὲ μίμνε μηδὲ συμφορὰν δέχου
τὸν ἄνδρ'· ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους
αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν.
οὗτος, σὲ τὸν τὰς αἰχμαλωτίδας χέρας
δεσμοῖς ἀπευθύνοντα προσμολεῖν καλῶ·
Αἴαντα φωνῶ· στεῖχε δωμάτων πάρος.

ΟΔΥΣΣΕΥΣ.

τί δρᾷς, Ἀθάνα; μηδαμῶς σφ' ἔξω κάλει.

ΑΘΗΝΑ.

οὐ σῖγ' ἀνέξῃ μηδὲ δειλίαν ἀρεῖς;

ΟΔΥΣΣΕΥΣ.

μὴ πρὸς θεῶν, ἀλλ' ἔνδον ἀρκείτω μένων.

ΑΘΗΝΑ.

τί μὴ γένηται; πρόσθεν οὐκ ἀνὴρ ὅδ' ἦν;

ΟΔΥΣΣΕΥΣ.

ἐχθρός γε τῷδε τἀνδρὶ καὶ τανῦν ἔτι.

ΑΘΗΝΑ.

οὔκουν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν;

ΟΔΥΣΣΕΥΣ.

ἐμοὶ μὲν ἀρκεῖ τοῦτον ἐν δόμοις μένειν.

ΑΘΗΝΑ.

μεμηνότ' ἄνδρα περιφανῶς ὀκνεῖς ἰδεῖν;

ΟΔΥΣΣΕΥΣ.

φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ.

ΑΘΗΝΑ.

ἀλλ' οὐδὲ νῦν σε μὴ παρόντ' ἴδῃ πέλας.

ΟΔΥΣΣΕΥΣ.

πῶς, εἴπερ ὀφθαλμοῖς γε τοῖς αὐτοῖς ὁρᾷ;

ΑΘΗΝΑ.
ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.
ΟΔΥΣΣΕΥΣ.
γένοιτο μεντἂν πᾶν θεοῦ τεχνωμένου.
ΑΘΗΝΑ.
σίγα νυν ἑστὼς καὶ μέν' ὡς κυρεῖς ἔχων.
ΟΔΥΣΣΕΥΣ.
μένοιμ' ἄν· ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν.
ΑΘΗΝΑ.
ὦ οὗτος, Αἴας, δεύτερόν σε προσκαλῶ.
τί βαιὸν οὕτως ἐντρέπῃ τῆς συμμάχου;
ΑΙΑΣ.
ὦ χαῖρ' Ἀθάνα, χαῖρε Διογενὲς τέκνον,
ὡς εὖ παρέστης· καί σε παγχρύσοις ἐγὼ
στέψω λαφύροις τῆσδε τῆς ἄγρας χάριν.
ΑΘΗΝΑ.
καλῶς ἔλεξας. ἀλλ' ἐκεῖνό μοι φράσον,
ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;
ΑΙΑΣ.
κόμπος πάρεστι κοὐκ ἀπαρνοῦμαι τὸ μή.
ΑΘΗΝΑ.
ἦ καὶ πρὸς Ἀτρείδαισιν ᾔχμασας χέρα;
ΑΙΑΣ.
ὥστ' οὔποτ' Αἴανθ' οἵδ' ἀτιμάσουσ' ἔτι.
ΑΘΗΝΑ.
τεθνᾶσιν ἄνδρες, ὡς τὸ σὸν ξυνῆκ' ἐγώ.
ΑΙΑΣ.
θανόντες ἤδη τἄμ' ἀφαιρείσθων ὅπλα.
ΑΘΗΝΑ.
εἶεν, τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου,
ποῦ σοι τύχης ἕστηκεν; ἦ πέφευγέ σε;
ΑΙΑΣ.
ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;
ΑΘΗΝΑ.
ἔγωγ'· Ὀδυσσέα τὸν σὸν ἐνστάτην λέγω.
ΑΙΑΣ.
ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω
θακεῖ· θανεῖν γὰρ αὐτὸν οὔ τί πω θέλω.
ΑΘΗΝΑ.
πρὶν ἂν τί δράσῃς ἢ τί κερδάνῃς πλέον;

ΑΙΑΣ.
πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκεῖον στέγης —
ΑΘΗΝΑ.
τί δῆτα τὸν δύστηνον ἐργάσῃ κακόν;
ΑΙΑΣ.
μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ.
ΑΘΗΝΑ.
μὴ δῆτα τὸν δύστηνον ὧδέ γ' αἰκίσῃ.
ΑΙΑΣ.
χαίρειν, Ἀθάνα, τἄλλ' ἐγώ σ' ἐφίεμαι·
κεῖνος δὲ τίσει τήνδε κοὐκ ἄλλην δίκην.
ΑΘΗΝΑ.
σὺ δ' οὖν, ἐπειδὴ τέρψις ἥδε σοι τὸ δρᾶν,
χρῶ χειρί, φείδου μηδὲν ὧνπερ ἐννοεῖς.
ΑΙΑΣ.
χωρῶ πρὸς ἔργον· τοῦτό σοι δ' ἐφίεμαι,
τοιάνδ' ἀεί μοι σύμμαχον παρεστάναι.
ΑΘΗΝΑ.
ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση;
τούτου τίς ἄν σοι τἀνδρὸς ἢ προνούστερος,
ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;
ΟΔΥΣΣΕΥΣ.
ἐγὼ μὲν οὐδέν' οἶδ'· ἐποικτείρω δέ νιν
δύστηνον ἔμπης, καίπερ ὄντα δυσμενῆ,
ὁθούνεκ' ἄτῃ συγκατέζευκται κακῇ,
οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν.
ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ' ὅσοιπερ ζῶμεν ἢ κούφην σκιάν.
ΑΘΗΝΑ.
τοιαῦτα τοίνυν εἰσορῶν ὑπέρκοπον
μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος,
μηδ' ὄγκον ἄρῃ μηδέν', εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις ἢ μακροῦ πλούτου βάθει.
ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς.
ΧΟΡΟΣ.
Τελαμώνιε παῖ, [τῆς ἀμφιρύτου]
Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου,

σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω·
σὲ δ' ὅταν πληγὴ Διὸς ἢ ζαμενὴς
λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ,
μέγαν ὄκνον ἔχω καὶ πεφόβημαι
πτηνῆς ὡς ὄμμα πελείας.
ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς
μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς
ἐπὶ δυσκλείᾳ,
σὲ τὸν ἱππομανῆ λειμῶν' ἐπιβάντ'
ὀλέσαι Δαναῶν βοτὰ καὶ λείαν,
ἥπερ δορίληπτος ἔτ' ἦν λοιπή,
κτείνοντ' αἴθωνι σιδήρῳ.
τοιούσδε λόγους ψιθύρους πλάσσων
εἰς ὦτα φέρει πᾶσιν Ὀδυσσεύς,
καὶ σφόδρα πείθει.
περὶ γὰρ σοῦ νῦν εὔπειστα λέγει,
καὶ πᾶς ὁ κλύων τοῦ λέξαντος
χαίρει μᾶλλον
τοῖς σοῖς ἄχεσιν καθυβρίζων.
τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς
οὐκ ἂν ἁμάρτοι· κατὰ δ' ἄν τις ἐμοῦ
τοιαῦτα λέγων οὐκ ἂν πείθοι.
πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.
καίτοι σμικροὶ μεγάλων χωρὶς
σφαλερὸν πύργου ῥῦμα πέλονται·
μετὰ γὰρ μεγάλων βαιὸς ἄριστ' ἂν
καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων.
ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους
τούτων γνώμας προδιδάσκειν.
ὑπὸ τοιούτων ἀνδρῶν θορυβῇ,
χἠμεῖς οὐδὲν σθένομεν πρὸς ταῦτ'
ἀπαλέξασθαι σοῦ χωρίς, ἄναξ.
ἀλλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν,
παταγοῦσιν ἅτε πτηνῶν ἀγέλαι
μέγαν αἰγυπιόν· [ὑποδείσαντες]
τάχ' ἄν, ἐξαίφνης εἰ σὺ φανείης,
σιγῇ πτήξειαν ἄφωνοι.

Ἦ ῥά σε Ταυροπόλα Διὸς Ἄρτεμις, — στρ.
ὦ μεγάλα φάτις, ὦ
μᾶτερ αἰσχύνας ἐμᾶς, —
ὥρμασε πανδάμους ἐπὶ βοῦς ἀγελαίας;
ἦ πού τινος νίκας ἀκάρπωτον χάριν,
ἤ ῥα κλυτῶν ἐνάρων ψευσθεῖσα δώροις εἴτ' ἐλαφαβολίαις·
ἢ χαλκοθώραξ οἵ τιν' Ἐνυάλιος
μομφὰν ἔχων ξυνοῦ δορὸς ἐννυχίοις
μαχανᾶς ἐτίσατο λώβαν;

Οὔ ποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερά, ἀντ.
παῖ Τελαμῶνος, ἔβας
τόσσον ἐν ποίμναις πίτνων·
ἥκοι γὰρ ἂν θεία νόσος· ἀλλ' ἀπερύκοι
καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν.
εἰ δ' ὑποβαλλόμενοι κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς,
ἢ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς,
μὴ μή μ', ἄναξ, ἔθ' ὧδ' ἐφάλοις κλισίαις
ὄμμ' ἔχων κακὰν φάτιν ἄρῃ.

Ἀλλ' ἄνα ἐξ ἑδράνων, ὅπου μακραίωνι ἐπ.
στηρίζῃ ποτὶ τᾷδ' ἀγωνίῳ σχολᾷ
ἄταν οὐρανίαν φλέγων.
ἐχθρῶν δ' ὕβρις ὧδ' ἀτάρβητα
ὁρμᾶτ' ἐν εὐανέμοις βάσσαις,
πάντων καγχαζόντων
γλώσσαις βαρυάλγητα·
ἐμοὶ δ' ἄχος ἕστακεν.

ΤΕΚΜΗΣΣΑ.

ναὸς ἀρωγοὶ τῆς Αἴαντος,
γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδᾶν,
ἔχομεν στοναχὰς οἱ κηδόμενοι
τοῦ Τελαμῶνος τηλόθεν οἴκου.
νῦν γὰρ ὁ δεινός, μέγας, ὠμοκρατὴς
Αἴας θολερῷ
κεῖται χειμῶνι νοσήσας.

ΧΟΡΟΣ.

τί δ' ἐνήλλακται τῆς ἀμερίας

172—182 = 183—193.

νὺξ ἥδε βάρος;
παῖ τοῦ Φρυγίοιο Τελεύταντος,
λέγ', ἐπεί σε λέχος δουριάλωτον
στέρξας ἀνέχει θούριος Αἴας·
ὥστ' οὐκ ἂν ἄϊδρις ὑπείποις.

ΤΕΚΜΗΣΣΑ.

πῶς δῆτα λέγω λόγον ἄρρητον;
θανάτῳ γὰρ ἴσον πάθος ἐκπεύσῃ.
μανίᾳ γὰρ ἁλοὺς ἡμὶν ὁ κλεινὸς
νύκτερος Αἴας ἀπελωβήθη.
τοιαῦτ' ἂν ἴδοις σκηνῆς ἔνδον
χειροδάϊκτα σφάγι' αἱμοβαφῆ,
κείνου χρηστήρια τἀνδρός.

ΧΟΡΟΣ.

στρ. Οἵαν ἐδήλωσας ἀνδρὸς
αἴθωνος ἀπαγγελίαν ἄτλατον οὐδὲ φευκτάν,
τῶν μεγάλων Δαναῶν ὕπο κληζομέναν,
τὰν ὁ μέγας μῦθος ἀέξει.
οἴμοι φοβοῦμαι τὸ προσέρπον. περίφαντος ἀνὴρ
θανεῖται, παραπλήκτῳ χερὶ συγκατακτὰς
κελαινοῖς ξίφεσιν βοτὰ καὶ βοτῆρας ἱππονώμας.

ΤΕΚΜΗΣΣΑ.

ὤμοι· κεῖθεν κεῖθεν ἄρ' ἡμῖν
δεσμῶτιν ἄγων ἤλυθε ποίμναν·
ὧν τὴν μὲν ἔσω σφάζ' ἐπὶ γαίας,
τὰ δὲ πλευροκοπῶν δίχ' ἀνερρήγνυ
δύο δ' ἀργίποδας κριοὺς ἀνελὼν
τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
ῥιπτεῖ θερίσας,
τὸν δ' ὀρθὸν ἄνω κίονι δήσας
μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν
παίει λιγυρᾷ μάστιγι διπλῇ,
κακὰ δεννάζων ῥήμαθ', ἃ δαίμων
κοὐδεὶς ἀνδρῶν ἐδίδαξεν.

ΧΟΡΟΣ.

ἀντ. Ὥρα τιν' ἤδη 'στι κρᾶτα
καλύμμασι κρυψάμενον ποδοῖν κλοπὰν ἀρέσθαι,

221—232 = 245—251.

ἢ θοὸν εἰρεσίας ζυγὸν ἑζόμενον
ποντοπόρῳ ναῒ μεθεῖναι.
τοίας ἐρέσσουσιν ἀπειλὰς δικρατεῖς Ἀτρεῖδαι
καθ' ἡμῶν· πεφόβημαι λιθόλευστον ἄρη
ξυναλγεῖν μετὰ τοῦδε τυπείς, τὸν αἶσ' ἄπλατος ἴσχει.

ΤΕΚΜΗΣΣΑ.

οὐκέτι· λαμπρᾶς γὰρ ἄτερ στεροπᾶς
ᾄξας ὀξὺς νότος ὣς λήγει,
καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει.
τὸ γὰρ εἰσλεύσσειν οἰκεῖα πάθη,
μηδενὸς ἄλλου παραπράξαντος,
μεγάλας ὀδύνας ὑποτείνει.

ΧΟΡΟΣ.

ἀλλ' εἰ πέπαυται, κάρτ' ἂν εὐτυχεῖν δοκῶ·
φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.

ΤΕΚΜΗΣΣΑ.

πότερα δ' ἄν, εἰ νέμοι τις αἵρεσιν, λάβοις
φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν,
ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;

ΧΟΡΟΣ.

τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.

ΤΕΚΜΗΣΣΑ.

ἡμεῖς ἄρ' οὐ νοσοῦντες ἀτώμεσθα νῦν.

ΧΟΡΟΣ.

πῶς τοῦτ' ἔλεξας; οὐ κάτοιδ' ὅπως λέγεις.

ΤΕΚΜΗΣΣΑ.

ἀνὴρ ἐκεῖνος, ἡνίκ' ἦν ἐν τῇ νόσῳ,
αὐτὸς μὲν ἥδεθ' οἷσιν εἴχετ' ἐν κακοῖς,
ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών·
νῦν δ' ὡς ἔληξε κἀνέπνευσε τῆς νόσου,
κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ
ἡμεῖς θ' ὁμοίως οὐδὲν ἧσσον ἢ πάρος.
ἆρ' ἔστι ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;

ΧΟΡΟΣ.

ξύμφημι δή σοι καὶ δέδοικα μὴ 'κ θεοῦ
πληγή τις ἥκῃ. πῶς γάρ, εἰ πεπαυμένος
μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται;

ΤΕΚΜΗΣΣΑ.

ὡς ὧδ' ἐχόντων τῶνδ' ἐπίστασθαί σε χρή.

ΧΟΡΟΣ.

τίς γάρ ποτ᾿ ἀρχὴ τοῦ κακοῦ προσέπτατο;
δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχας.

ΤΕΚΜΗΣΣΑ.

ἅπαν μαθήσῃ τοὔργον, ὡς κοινωνὸς ὤν.
κεῖνος γὰρ ἄκρας νυκτός, ἡνίχ᾿ ἕσπεροι
λαμπτῆρες οὐκέτ᾿ ᾖθον, ἄμφηκες λαβὼν
ἐμαίετ᾿ ἔγχος ἐξόδους ἕρπειν κενάς.
κἀγὼ ᾿πιπλήσσω καὶ λέγω, τί χρῆμα δρᾷς,
Αἴας; τί τήνδ᾿ ἄκλητος οὔθ᾿ ὑπ᾿ ἀγγέλων
κληθεὶς ἀφορμᾷς πεῖραν οὔτε του κλύων
σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
ὁ δ᾿ εἶπε πρός με βαί᾿, ἀεὶ δ᾿ ὑμνούμενα·
γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
κἀγὼ μαθοῦσ᾿ ἔληξ᾿, ὁ δ᾿ ἐσσύθη μόνος.
καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω λέγειν πάθας·
ἔσω δ᾿ ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
ταύρους, κύνας βοτῆρας, εὔκερών τ᾿ ἄγραν.
καὶ τοὺς μὲν ηὐχένιζε, τοὺς δ᾿ ἄνω τρέπων
ἔσφαζε κἀρράχιζε, τοὺς δὲ δεσμίους
ᾐκίζεθ᾿ ὥστε φῶτας ἐν ποίμναις πίτνων.
τέλος δ᾿ ὑπᾴξας διὰ θυρῶν σκιᾷ τινὶ
λόγους ἀνέσπα τοὺς μὲν Ἀτρειδῶν κάτα,
τοὺς δ᾿ ἀμφ᾿ Ὀδυσσεῖ, συντιθεὶς γέλων πολύν,
ὅσην κατ᾿ αὐτῶν ὕβριν ἐκτίσαιτ᾿ ἰών·
κἄπειτ᾿ ἐπᾴξας αὖθις ἐς δόμους πάλιν
ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίσταται,
καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος,
παίσας κάρα θώϋξεν· ἐν δ᾿ ἐρειπίοις
νεκρῶν ἐρειφθεὶς ἕζετ᾿ ἀρνείου φόνου,
κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί.
καὶ τὸν μὲν ἧστο πλεῖστον ἄφθογγος χρόνον·
ἔπειτ᾿ ἐμοὶ τὰ δείν᾿ ἐπηπείλησ᾿ ἔπη,
εἰ μὴ φανοίην πᾶν τὸ συντυχὸν πάθος,
κἀνήρετ᾿ ἐν τῷ πράγματος κυροῖ ποτέ.
κἀγώ, φίλοι, δείσασα τοὐξειργασμένον
ἔλεξα πᾶν ὅσονπερ ἐξηπιστάμην.

ὁ δ' εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγράς,
ἃς οὔποτ' αὐτοῦ πρόσθεν εἰσήκουσ' ἐγώ.
πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου γόους
τοιούσδ' ἀεί ποτ' ἀνδρὸς ἐξηγεῖτ' ἔχειν·
ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων
ὑπεστέναζε ταῦρος ὣς βρυχώμενος.
νῦν δ' ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ
ἄσιτος ἀνήρ, ἄποτος, ἐν μέσοις βοτοῖς
σιδηροκμῆσιν ἥσυχος θακεῖ πεσών.
καὶ δῆλός ἐστιν ὥς τι δρασείων κακόν.
τοιαῦτα γάρ πως καὶ λέγει κὠδύρεται.
ἀλλ', ὦ φίλοι, τούτων γὰρ οὕνεκ' ἐστάλην,
ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι.
φίλων γὰρ οἱ τοιοίδε νικῶνται λόγοις.

ΧΟΡΟΣ.

Τέκμησσα δεινὰ παῖ Τελεύταντος λέγεις
ἡμῖν, τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.

ΑΙΑΣ.

ἰώ μοί μοι.

ΤΕΚΜΗΣΣΑ.

τάχ', ὡς ἔοικε, μᾶλλον· ἢ οὐκ ἠκούσατε
Αἴαντος οἵαν τήνδε θωΰσσει βοήν;

ΑΙΑΣ.

ἰώ μοί μοι.

ΧΟΡΟΣ.

ἁνὴρ ἔοικεν ἢ νοσεῖν, ἢ τοῖς πάλαι
νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών.

ΑΙΑΣ.

ἰὼ παῖ παῖ.

ΤΕΚΜΗΣΣΑ.

ὤμοι τάλαιν'· Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ.
τί ποτε μενοινᾷ; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.

ΑΙΑΣ.

Τεῦκρον καλῶ. ποῦ Τεῦκρος; ἢ τὸν εἰσαεὶ
λεηλατήσει χρόνον; ἐγὼ δ' ἀπόλλυμαι.

ΧΟΡΟΣ.

ἁνὴρ φρονεῖν ἔοικεν. ἀλλ' ἀνοίγετε.
τάχ' ἄν τιν' αἰδῶ κἀπ' ἐμοὶ βλέψας λάβοι.

ΤΕΚΜΗΣΣΑ.

ἰδού, διοίγω· προσβλέπειν δ' ἔξεστί σοι
τὰ τοῦδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ.

ΑΙΑΣ.

στρ. α'. Ἰὼ
φίλοι ναυβάται, μόνοι ἐμῶν φίλων,
μόνοι ἔτ' ἐμμένοντες ὀρθῷ νόμῳ,
ἴδεσθέ μ' οἷον ἄρτι κῦμα φοινίας ὑπὸ ζάλης
ἀμφίδρομον κυκλεῖται.

ΧΟΡΟΣ.

οἴμ' ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν.
δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει.

ΑΙΑΣ.

ἀντ. α'. Ἰὼ
γένος ναΐας ἀρωγὸν τέχνας,
ἅλιον ὃς ἐπέβας ἑλίσσων πλάταν,
σέ τοι σέ τοι μόνον δέδορκα ποιμένων ἐπαρκέσοντ',
ἀλλά με συνδάϊξον.

ΧΟΡΟΣ.

εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς
ἄκος πλέον τὸ πῆμα τῆς ἄτης τίθει.

ΑΙΑΣ.

στρ. β'. Ὁρᾷς τὸν θρασύν, τὸν εὐκάρδιον,
τὸν ἐν δαΐοις ἄτρεστον μάχαις,
ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;
ὤμοι γέλωτος, οἷον ὑβρίσθην ἄρα.

ΤΕΚΜΗΣΣΑ.

μή, δέσποτ' Αἴας, λίσσομαί σ', αὔδα τάδε.

ΑΙΑΣ.

οὐκ ἐκτὸς [οὐκ] ἄψορρον ἐκνεμῇ πόδα;
αἶ αἶ αἶ αἶ.

ΧΟΡΟΣ.

ὦ πρὸς θεῶν ὕπεικε καὶ φρόνησον εὖ.

ΑΙΑΣ.

ὢ δύσμορος, ὃς χερὶ μὲν
μεθῆκα τοὺς ἀλάστορας,
ἐν δ' ἑλίκεσσι βουσὶ καὶ κλυτοῖς πεσὼν αἰπολίοις
ἐρεμνὸν αἷμ' ἔδευσα.

ΧΟΡΟΣ.

τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.

ΑΙΑΣ.

ἀντ. β'. Ἰὼ πάνθ' ὁρῶν, ἁπάντων τ' ἀεὶ

348—355 = 356—363. 364—378 = 379—393.

κακῶν ὄργανον, τέκνον Λαρτίου,
κακοπινέστατόν τ' ἄλημα στρατοῦ,
ἦ που πολὺν γέλωθ' ὑφ' ἡδονῆς ἄγεις.

ΧΟΡΟΣ.

ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται.

ΑΙΑΣ.

ἴδοιμί νιν, καίπερ ὧδ' ἀτώμενος.
ἰώ μοί μοι.

ΧΟΡΟΣ.

μηδὲν μέγ' εἴπῃς. οὐχ ὁρᾷς ἵν' εἶ κακοῦ;

ΑΙΑΣ.

ὦ Ζεῦ, προγόνων προπάτωρ,
πῶς ἂν τὸν αἱμυλώτατον,
ἐχθρὸν ἄλημα, τούς τε δισσάρχας ὀλέσσας βασιλῆς,
τέλος θάνοιμι καὐτός.

ΤΕΚΜΗΣΣΑ.

ὅταν κατεύχῃ ταῦθ', ὁμοῦ κἀμοὶ θανεῖν
εὔχου· τί γὰρ δεῖ ζῆν με σοῦ τεθνηκότος;

ΑΙΑΣ.

Ἰώ στρ. γ.
σκότος, ἐμὸν φάος,
ἔρεβος ὦ φαεννότατον, ὡς ἐμοί,
ἕλεσθ' ἕλεσθέ μ' οἰκήτορα,
ἕλεσθέ μ'· οὔτε γὰρ θεῶν γένος
οὔθ' ἁμερίων ἔτ' ἄξιος
βλέπειν τιν' εἰς ὄνησιν ἀνθρώπων.
ἀλλά μ' ἁ Διὸς
ἀλκίμα θεὸς
ὀλέθρι' αἰκίζει.
ποῖ τις οὖν φύγῃ;
ποῖ μολὼν μενῶ;
εἰ τὰ μὲν φθίνει,
φίλοι, τοῖς δ'
ὁμοῦ πέλας,
μώραις δ' ἄγραις προσκείμεθα,
πᾶς δὲ στρατὸς δίπαλτος ἄν με
χειρὶ φονεύοι.

394—411 = 412—429.

ΤΕΚΜΗΣΣΑ.

ὢ δυστάλαινα, τοιάδ᾽ ἄνδρα χρήσιμον
φωνεῖν, ἃ πρόσθεν οὗτος οὐκ ἔτλη ποτ᾽ ἄν.

ΑΙΑΣ.

ἀντ. γ'. Ἰὼ
πόροι ἁλίρροθοι
πάραλά τ᾽ ἄντρα καὶ νέμος ἐπάκτιον,
πολὺν πολύν με δαρόν τε δὴ
κατείχετ᾽ ἀμφὶ Τροίαν χρόνον·
ἀλλ᾽ οὐκέτι μ᾽, οὐκέτ᾽ ἀμπνοὰς
ἔχοντα· τοῦτό τις φρονῶν ἴστω.
ὢ Σκαμάνδριοι
γείτονες ῥοαί,
εὔφρονες Ἀργείοις,
